BISETUS. Μήτ' ἐγκύψασαν] τούτων ὁ νοῦς ὅδε. Οὐ μόνον ἡμῖν ταῖς γυναιξὶν ἀπαγορεύετε μὴ οἴκοθεν ἐξελθεῖν, ἀλλὰ καὶ μήτε ἐκ θύρας, ἢ θυρίδος οὐδὲ A μικρὸν ὅσον προσβλέπειν καταπλινομένας. τὸ δὲ ἁλῶναι α. β. ἀπὸ τοῦ ἥλωμι, ἥλων. ὡς ἀπὸ τοῦ γνῶμι τὸ ἔγνων, καὶ τὸ γνῶναι.

| | |
|---|---|
| Κἂν ἐκ θυρίδος παρακύπτωμεν, ζητεῖ τὸ κακὸν τεθεᾶσθαι. | *Et si ex fenestra prospexerimus, quærit malum spectare.* |
| Κἂν αἰσχυνθεῖσ' ἀναχωρήσῃ, πολὺ μᾶλλον πᾶς ἐπιθυμεῖ | *Et si erubescẽs recesserit, multo magis vnusquisque cupit* |
| Αὖθις παρακύψαν ἰδεῖν τὸ κακόν. οὕτως ἡμεῖς ἐπιδήλως | *Rursus promouentem caput videre malum. Ita nos perspicuè* B |
| Ὑμῶν ἐσμὲν πολὺ βελτίους. βάσανός τε πάρεστιν ἰδέσθαι. | *Vobis sumus multo meliores, experimentúmque adest, vt videatur.* |
| Βάσανον δῶμεν πότεροι χείρους. ἡμεῖς μὲν γὰρ φαμὲν ὑμᾶς. | *Quæstionem ac periculum damus, vtri peiores. nos enim dicimus vos,* |
| Ὑμεῖς δ' ἡμᾶς. σκεψώμεθα δὴ κἀντιτιθῶμεν πρὸς ἕκαστον | *Vos verò nos. Consideremus verò & contendamus, ac comparemus ad vnamquamque rẽ,* |
| Παραβάλλουσαι τῆς τε γυναικὸς καὶ τἀνδρὸς τοὔνομ' ἕκαστον. | *Comparantes & mulieris ac viri nomen vnũquodque.* C |
| Ναυσιμάχης μὲν ἥττων ἐστὶ Χαρμῖνος, δῆλα δὲ τἄργα. | *Nausimacha quidem inferior est Charminus, manifesta quidem sunt facta vtriusque.* |
| Καὶ μὲν δὴ καὶ Κλεοφῶν χείρων πάντως δήπου Σαλαβακχοῦς. | *Et Cleophon quidem peior omnino videlicet Salabaccha meretrice.* |
| Πρὸς Ἀριστομάχην δὲ χρόνου πολλοῦ πρὸς ἐκείνην τὴν Μαραθῶνι, | *Aduersus Aristomachem tempore multo præterito aduersus illam, quæ pugnauit in Marathone,* |
| Καὶ Στρατονίκην ὑμῶν οὐδεὶς οὐδ' ἐγχειρεῖ πολεμίζειν, | *Et aduersus Stratonicem vestrûm nemo audet bellare.* D |
| Ἀλλ' Εὐβούλης τῶν πέρυσιν τὶς βουλευτής ἐστιν ἀμείνων, | *Sed Eubule ex senatoribus superioris anni quis senator, est melior,* |
| Παραδοὺς ἑτέρῳ τὴν βουλείαν. οὐδ' αὐτὸς τοῦτό γε φήσεις. | *Tradens alteri consilium? ne ipse hoc quidem dices.* |
| Οὕτως ἡμεῖς πολὺ βελτίους τῶν ἀνδρῶν εὐχόμεθ' εἶναι. | *Ita nos multo meliores viris gloriamur esse.* |
| Οὐδ' ἂν κλέψασα γυνὴ ζεύγῃ κατὰ πεντήκοντα τάλαντα | *Neque si furata mulier accusatur, ad quinquaginta talenta* |
| Ἐς πόλιν ἔλθοι τῶν δημοσίων. ἀλλ' ἢν τὰ μέγιστ' ἀφέληται, | *In vrbem veniret ex publicis pecuniis. sed si maxima surripuerit,* E |
| Φορμὸν πυρῶν τἀνδρὸς κλέψασα αὐθημερὸν αὔτ' ἀπέδωκεν. | *Sportulam triticorum viri furata, eodẽ die ipsa ea quæ furata sit, reddidit.* |

BOURDINUS. Παρακύπτωμεν.] ἐκκύπτωμεν, ἀνακύπτωμεν, τοῦ θεᾶσθαι ἕνεκα. Ἀναχωρήσῃ.] ὑποχωρήσῃ. Παρακύψασαν.] τὴν γυναῖκα. Βάσανος.] ἡ πεῖρα, ἐξέτασις, ἡ δοκίμασις. Βάσανον δῶμεν.] βασανίζωμεν καὶ ἐξετάζωμεν. Ἀντιτιθῶμεν.] ἀνεξετάζωμεν, ἀντιπαραβάλλωμεν. Παραβάλλουσαι.] συγκρίνουσαι, συμβάλλουσαι. δευτέρα δ' ἀπολογία ἐστὶ δι' ἀντιθέσεως τῶν ἀνδρῶν καὶ γυναικῶν καθ' ἕκαστον. F Ναυσιμάχης μέν.] τουτέστι κρατεῖται δὴ ὑπὸ τῆς γυναικὸς ὁ χαρμῖνος, καὶ οὐ κρατεῖ καὶ διὰ τοῦτο χείρων ἐστὶ γυναικός. αὕτη γὰρ ἡ φράσις ἐστὶ τῶν ἀττικῶν, ὅταν τινὰ κρατεῖσθαι δηλοῦν βούλωνται, ἥττονα ἐκεῖνον λέγοντες τοῦδε ὑφ' οὗ κρατοῦνται. διαβάλλει δ' ἐνταῦθ' ὁ ποιητὴς τὴν μαλακίαν καὶ ἔκλυσιν πάντων τῶν γυναικοκρατουμένων ἀνδρῶν ἐναριθμουμένων ἐν τούτοις τοῖς στοιχείοις. Κλεοφῶν χείρων.] ὁμοίως δὲ καὶ ὁ κλεοφῶν κρατεῖται καὶ ἡττᾶται ὑπὸ τῆς σαλαβακχοῦς. G σαλαβακχὼ δὲ πόρνης ἦν ὄνομα καθ' ὑπερβολὴν ἐφυβριζούσης, καὶ ἀπὸ ἐκείνης διὰ τὴν τρυφὴν καὶ ἀσέλγειαν θαυμαστήν. ἐκάλουν οἱ παλαιοὶ πάσας τὰς γυναῖκας καταφερεῖς εἰς τ' ἀφροδίσια καὶ πορνευούσας, τούτῳ τῷ ὀνόματι. Τὴν μαραθῶνι.] τὴν μαχεσαμένην ἐν μαραθῶνι. ἐνταῦθα ὁ χορὸς ἀπὸ τῆς ἀνδρείας ἐγκωμιάζει καὶ ἐπαινεῖ τάσδε γυναῖκας. αἱ δύο γυναῖκες Ἀριστομάχη καὶ Στρατονίκη μαχιμώταται ἐγένοντο καὶ ἡ μὲν αὐτῶν, ἀπὸ τοῦ ἀριστα μάχεσθαι, ἡ δ' ἀπὸ τοῦ νικᾶν ἐν στρατοῖς ἐκλήθη. Πολεμίζειν.] πολεμεῖν, μάχεσθαι, καὶ ἀγωνίζεσθαι. πρὸς ταύτην οὐδεὶς, φησὶν, ἀνδρῶν ὑμῶν, οὐδὲ τολμᾷ διαμάχεσθαι πρὸς ταύτας τὰς γυναῖκας, διότιπερ κρείσσονες ἦσαν καὶ ἐκράτουν τῶν ἀνδρῶν. Εὐβούλης.] εὐβούλη ὄνομα γυναικὸς, ἥπερ ἐκλήθη ἀπὸ τοῦ εὖ βουλεύεσθαι. ἐνταῦθα καὶ τὴν βουλὴν τῶν γυναικῶν προτιμᾷ τῇ βουλῇ ἀνδρῶν. Οὐδ' ἂν κλέψασα.] ἄρχεται καὶ τοῦ ἐπαίνου τῶν γυναικῶν ὁ χορὸς ἀπὸ τῆς ἁμαρτίας τοῦ τ' ἀλλότρια κλέπτειν καὶ ἀφελέσθαι. καὶ γὰρ λέγει ὅτι γυναῖκες ὥσπερ οἱ ἄνδρες οὐ κλέπτουσι τ' ἀλλότρια, ἀλλ' ἀπέχονται μεγίστης ἐκείνης δυσχεριστάτης, κλοπῆς καὶ αἰσχροκερδείας. Φεύγει.] κρίνεται, κατηγορεῖται. Κατὰ πεντήκοντα τάλαντα.] τουτέστι ἐγγράφοιτο εἰς τὸ δημόσιον ὥσπερ ὀφείλουσα τῷ δημοσίῳ πεντήκοντα τάλαντα διὰ τὴν τῆς κλοπῆς ἁμαρτίαν. καὶ ταύτην τὴν ζημίαν καταθεῖσα κατέλθοι εἰς τὴν πόλιν. καὶ γὰρ οἱ ὀφλόντες τῷ δημοσίῳ ἐνεγράφοντο